## Πατριαρχικὸν Γράμμα ἑνοῦν τὴν ἐξαρχίαν Γηρομερίου μετὰ τῆς ἐπισκοπῆς Βοθροντοῦ καὶ Γλυκέως[3].

*† Σεραφεὶμ ἐλέῳ Θεοῦ κλπ.*

Καὶ πᾶσι μὲν ἁπλῶς προστάταις καὶ κηδεμόσι ἔργον τοῦτο κατάλληλον καὶ ἁρμόδιον, χρήσιμόν τε καὶ ἐπαινούμενον τὸ ἐμμερίμνως ἀεὶ ἐπιφέρειν τὴν πρόνοιαν τοῖς ὑποτελοῦσιν αὐτοῖς, δι᾿ οὗ καὶ ὡς ἀληθῶς προϊστάμενοι τῶν ἀνὰ χεῖρας λογίζονται, διαφερόντως δὲ τοῦτ᾿ αὐτὸ προσήκει τοῖς τῶν ἐκκλησιαστικῶν πραγμάτων τὴν καθόλου καὶ κοινὴν προστασίαν παρὰ Θεοῦ πιστευθεῖσιν, οἷστισι καὶ λίαν ἐπάναγκες ὄφλημα πέφηκε, καὶ προὐργιαίτερον ἔργον παντὸς κήδεσθαι καὶ προνοεῖν τῶν ὑποκειμένων αὐτοῖς ἐπαρχιῶν καὶ παροικιῶν καὶ ἀντιλαμβάνεσθαι φιλαδέλφως τῶν ἐν αὐτοῖς προϊσταμένων. Ὀφείλουσι γὰρ ἀπαραιτήτως οἱ ἀποστολικοὶ ποιμένες οὐ μόνον τὸ ἑαυτῶν συμφέρον, ἀλλὰ καὶ τὸ τῶν ἑτέρων ζητεῖν καὶ συνασθενεῖν τοῖς ἀσθενοῦσι καὶ συμπάσχειν εὐσπλάγχνως τοῖς πάσχουσι καὶ πᾶσι τρόποις ἐπαρκεῖν καὶ ἐπικουρεῖν τοῖς ἀδυνάτως ἔχουσι μέλεσι καὶ πρυτανεύειν αὐτοῖς τὰ πρὸς σύστασιν, ἄλλοτε ἄλλως οἰκονομοῦντες αὐτοῖς τὰ συμφέροντα, κατὰ τὴν ἀποστολικὴν εἰσήγησιν «πάντα πρὸς οἰκοδομὴν γίνεσθαι» ἀποφαινομένην. Τῶν γὰρ ὑπὸ χρόνον πραγμάτων, ἅτε δὴ τρεπτὴν καὶ ἀλλοιωτὴν ἐσχηκότων τὴν φύσιν, μεταπιπτόντων καὶ ἐξαλλασσομένων κατὰ καιρούς, καὶ νῦν μὲν ἀπὸ τοῦ............καὶ μεγέθους εἰς μείωσιν καὶ βραχύτητα καὶ κάκωσιν μεθισταμένων, ἄλλοτε δ᾿ αὖ τοὐναντίον ἐξ εὐτελείας εἰς ἐπίδοσιν καὶ αὔξησιν προαγομένων, οἱ κατὰ καιροὺς τῆς τῶν πραγμάτων ἐπιστασίας ἀνειλημμένοι καὶ τῆς Ἐκκλησίας ἀκρέμονες καταλλήλως μεμαθήκασι θεραπεύειν καὶ πρόσφορον ἐπιφέρειν αὐτοῖς τὴν βοήθειαν καὶ ἀνακαλεῖν εἰς τὸ εἶναι τὰ μικροῦ δεῖν περὶ τοῦτ᾿ αὐτὸ κινδυνεύοντα, δι᾿ ὃ καὶ πολλὰς τῶν παροικιῶν καὶ ἐπαρχιῶν ταπεινωθείσας εἰς ἔσχατον καὶ εἰς ἀπορίαν καὶ ἔνδειαν περιπεσούσας προνοίαις ἀναγκαίαις διευθετῆσαι οὐκ ὤκνησαν. Προσθήκαις γάρ τισι τὰς Ἐκκλησίας εἰς μείωσιν ἐνδυναμώσαντες καὶ τὸ αὔταρκες αὐταῖς ἐναρμόσαντες ἱκανὰς ἐποίησαν τρέφειν ἀρχιερέα καὶ περιθάλπειν ἀνενδεῶς ἐπὶ τῷ διεξάγειν ἀνελλιπῶς τὸν ἐν ἐκείναις τοῦ κυρίου λαὸν καὶ πρὸς σωτηρίους τρίβους ποδηγετεῖν, ὃ δή που παραμελούμενον οὐ μικρὸν ἐπιφέρειν οἶδε τὸν ὄλεθρον καὶ δεινὴν τὴν ζημίαν ταῖς τῶν ὀρθοδόξων ψυχαῖς. Ἐπειδὴ τοιγαροῦν καὶ τανῦν, ὡς ἔνεστι, φροντίζοντες ἀπαύστως τὰς ἐλέῳ Θεοῦ σῳζομένας ἔτι παροικίας καὶ ἐπαρχίας τῷ καθ᾿ ἡμᾶς ἀποστολικῷ πατριαρχικῷ τε καὶ οἰκου-

---

3) *Κώδ. Κριτίου.* Εὕρηται ἀχρονολόγητον ὑπὸ τὴν ἐπιγραφὴν «ἕνωσις ἐξαρχίας τοῦ Γηρομερίου μετὰ τῆς ἐπισκοπῆς Βοθροντοῦ καὶ Γλυκέως πρὸς μερικὴν βοήθειαν αὐτῆς δυστυχησάσης».

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

μενικῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως φυλάξαι φθορᾶς ἀνωτέρας διὰ τῆς θείας ἄνωθεν ἀντιλήψεως περιστατικοῖς ἀναγκαίως καταρτίζοντες διαφόροις τοῖς συμβαλλομένοις πρός τε τὸ εἶναι καὶ τὸ εὖ εἶναι ταύτας, κατελάβομεν ἤδη καὶ τὴν ἁγιωτάτην ἐπισκοπὴν Βοθροντοῦ τοῦ Γλυκέως μάλ' ἐνδεῶς ἔχουσαν καὶ ἐξαπορηθεῖσαν παντελῶς καὶ δυστυχίᾳ ἐσχάτῃ περιπεσοῦσαν· ὡς γὰρ ἀνηνέχθη καὶ ἐδηλοποιήθη ἡμῖν διὰ κοινῆς ἀναφορᾶς τοῦ ἱερωτάτου μητροπολίτου Ἰωαννίνων καὶ τῶν ἀρχόντων χριστιανῶν τῆς πολιτείας ταύτης, διὰ τὴν καταδυναστείαν καὶ τυραννικὴν ἐπικράτειαν κυριευθεῖσα τυραννικῶς ὑπὸ τοῦ περιέχοντος αὐτὴν ἀλβανικοῦ ἔθνους καὶ τὰς συνεχῶς ἐπιγινομένας αὐτοῖς αἱματοχυσίας καὶ στάσεις καὶ ἐμφυλίους πολέμους τῶν ἐνοικούντων αὐτῇ χριστιανῶν, οἱ μὲν πλείους φυγῇ χρησάμενοι μετανάσται ἐγένοντο τῇδε κακεῖσε διασπαρέντες ὡς μηκέτι ἀντέχειν δυνάμενοι, ὁ δὲ ἐν αὐτῇ ἀρχιερατεύων ἤδη θεοφιλέστατος ἐπίσκοπος Βοθροντοῦ καὶ Γλυκέως κὺρ Παρθένιος διὰ τὸν ὑφορώμενον κίνδυνον καὶ αὐτὸς μετανάστης ἐγένετο καὶ ὑστερούμενος καὶ αὐτῶν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων διὰ τὴν τῶν χριστιανῶν ὀλιγότητα, δυστυχίαν τε καὶ ταλαιπωρίαν καὶ κινδυνεύει ἔκτοτε ἡ ἐπισκοπὴ αὕτη καὶ τὸ ἐν αὐτῇ λειπόμενον τῶν ὀρθοδόξων σύστημα πνευματικῆς προστασίας στερηθῆναι καὶ ἀρχιερατικῆς ἐπισκέψεως ἐκπεσεῖν, ὅπερ οὐ μικρὸν ἀπειλεῖ τοῖς σῳζομένοις ἐκεῖσε καὶ περιλειφθεῖσιν ὀρθοδόξοις τὸν ψυχικὸν κίνδυνον. Τούτου χάριν ἀναγκαῖον ἡγησάμενοι μὴ παραδραμεῖν αὐτόν, δεῖν ἔγνωμεν ἀναλαβεῖν αὐτὴν καὶ ἀνασώσασθαι κατὰ τὸν ἐνόντα τρόπον καὶ χεῖρα βοηθείας ὀρέξαι, καὶ δὴ καταλαβόντες τὴν πλησίον αὐτῆς κειμένην ἡμετέραν πατριαρχικὴν ἐξαρχίαν τοῦ Γερομερίου μετὰ τῶν ὑποκειμένων καὶ ἐμπεριεχομένων αὐτῇ χωρίων, ἑνωθεῖσαν μὲν τὸ πρότερον καὶ προσηλωθεῖσαν τῷ ἐν αὐτῇ πατριαρχικῷ καὶ σταυροπηγιακῷ μοναστηρίῳ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου τῆς Φανερωμένης, διὰ προεκδοθέντων πατριαρχικῶν καὶ συνοδικῶν γραμμάτων, ἀποφαινομένων ἐπισκέπτεσθαι καὶ διοικεῖσθαι τὴν ἐξαρχίαν αὐτὴν ὑπὸ τοῦ ῥηθέντος μοναστηρίου καὶ τοῦ ἐν αὐτῷ ἡγουμενεύοντος, καὶ βεβαιούντων ἐκκλησιαστικαῖς ἀραῖς καὶ ἐπιτιμίοις τὴν προσήλωσιν ταύτην εἶναι καὶ μένειν εἰς τὸ ἑξῆς ἀναφαίρετον, τανῦν ὅμως ἐρημωθείσης τῆς ῥηθείσης μονῆς καὶ μηδενὸς ἐν αὐτῇ ὑπολειφθέντος πρὸς διοίκησιν καὶ κυβέρνησιν τῆς ῥηθείσης ἐξαρχίας, ἔμειναν καὶ οἱ τῆς ἐξαρχίας χριστιανοὶ ἀπροστάτευτοι καὶ ἀποίμαντοι καὶ χρῄζοντες ἀναγκαίως ἀρχιερατικῆς καὶ πνευματικῆς προστασίας, τὴν μὲν προγεγενημένην ἐκείνην ἕνωσιν καὶ προσήλωσιν τῆς ἐξαρχίας μετὰ τῆς ῥηθείσης μονῆς ὡς ἐκλελοιπυῖαν ἤδη καὶ μηκέτι ἐνεργουμένην διὰ τὴν τῆς μονῆς ἐρήμωσιν, ἀκυρῶσαι καὶ ἀνατρέψαι, τὴν δὲ ἐξαρχίαν ταύτην ἑνῶσαι καὶ ὑποτάξαι τοῦ λοιποῦ τῇ ῥηθείσῃ ἐπισκοπῇ Βοθροντοῦ καὶ Γλυκέως καὶ διὰ τῆς συνδρομῆς καὶ ἑνώσεως τούτων, ἑκατέρων ἀναπληρῶσαι τὴν χρείαν καὶ ἔνδειαν, ὥστε τήν τε ἐπισκοπὴν καὶ τὸν ἐν αὐτῇ ἀρχιερατεύοντα μικρὰν εὑρέσθαι ἀνάκλισιν καὶ βοήθειαν καὶ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

φυλακὴν καὶ ἀσφάλειαν ἐν καιρῷ κινδύνου καὶ εὐπορίαν τῶν ἀναγκαίων καὶ ἔχων τὴν ἐξαρκοῦσαν ζωάρκειαν καὶ ἀσφάλειαν διαμένει καὶ κάθηται ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ φέρων ἐκεῖσε ἀδιαλείπτως τὸν εὐαγγελικὸν ζυγὸν τῆς θείας χάριτος καὶ διενεργῶν ἀρχιερατικῶς τὰ τῆς χάριτος πρὸς σωτηρίαν τῶν ἐν αὐτῇ τελούντων χριστιανῶν, καὶ τοὺς τῆς ῥηθείσης ἐξαρχίας χριστιανοὺς ἐπιτυχεῖν καὶ ἀξιωθῆναι τῆς προσηκούσης ἀρχιερατικῆς καὶ πνευματικῆς προστασίας καὶ κηδεμονίας καὶ μὴ πλανᾶσθαι καὶ κατὰ κρημνῶν φέρεσθαι ὥσπερ πρόβατα μὴ ἔχοντα ποιμένα. Καὶ οὕτω συνοδικῇ διαγνώσει ἀπεφάνθη συναφθῆναι καὶ ἑνωθῆναι τῇ ἐπισκοπῇ ταύτῃ τὴν ῥηθεῖσαν πατριαρχικὴν ἐξαρχίαν τοῦ Γερομερίου καὶ συνδεθῆναι ταύτῃ ἀδιαλύτως ὑποκειμένην τε καὶ ἐνοριακὴν γενέσθαι καὶ μίαν καὶ μόνην μετ' αὐτῆς ἐπισκοπὴν ὀνομάζεσθαι. Διὰ τὸ μὴ στερηθῆναι μέντοι τὸ κατ' ἀρχὰς φιλοτιμηθὲν ἐτήσιον ταύτης τοῖς κατὰ καιρὸν κληρικοῖς τοῦ καθ' ἡμᾶς ἀποστολικοῦ θρόνου, ἐγνωμοδοτήθη παρέχειν τὸν ῥηθέντα ἐπίσκοπον κατ' ἔτος πρὸς τὸν κατὰ καιροὺς φιλοτιμηθέντα κληρικὸν τὴν εἰρημένην ἐκκλησιαστικὴν φιλοτιμίαν, ἤτοι γρόσια εἴκοσι. Τούτου χάριν γράφοντες ἀποφαινόμεθα ἵνα ἡ μὲν προγεγονυῖα ἐκείνη ἕνωσις καὶ προσήλωσις τῆς ἐξαρχίας ταύτης μετὰ τοῦ ῥηθέντος σταυροπηγιακοῦ μοναστηρίου τῆς Φανερωμένης, ὡς ἀπρακτήσασα τοῦ λοιποῦ διὰ τὴν γενομένην ἐρήμωσιν τοῦ ῥηθέντος μοναστηρίου καὶ τὴν στέρησιν τῶν ἐπισκεψομένων αὐτῆς, ὑπάρχῃ ἄκυρος καὶ ἀνίσχυρος καὶ αἱ προγραφεῖσαι ἀραὶ καὶ τὰ ἐπιτίμια διὰ τὸ μένειν ἐκείνην εἰς οὐδὲν λογιζόμενα, ἡ δὲ διαληφθεῖσα ἐξαρχία τοῦ Γερομερίου μετὰ τῶν ἐν αὐτῇ χωρίων: τοῦ Ἄνω Γερομέρι, τοῦ Κάτω Γερομέρι, τῆς Φανερωμένης, τῆς Πλεσίβιτσας, τῆς Κόνισκας, τῆς Σαγιάδας, τῆς Βρυσέλας, τῆς Κερακίτσας, τοῦ Κόκκινου λίθου μετὰ τῶν μετοχίων αὐτῶν καὶ λοιπῶν ἁπάντων χωρίων, τῶν ἐμπεριεχομένων ἐν τῇ ῥηθείσῃ ἐξαρχίᾳ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὑπάρχῃ διόλου συνηνωμένη τῇ ἁγιωτάτῃ ἐπισκοπῇ Βοθροντοῦ καὶ Γλυκέως μέχρι παντὸς ἀδιαιρέτως καὶ ἀναφαιρέτως ἐνοριακὴ τελοῦσα τῆς αὐτῆς ἐπισκοπῆς καὶ ὑποκειμένη ταύτῃ μετὰ πάντων τῶν ἐκκλησιαστικῶν κτημάτων καὶ ἀφιερωμάτων αὐτῆς, δεσποζομένη τε καὶ ἐξουσιαζομένη καὶ νεμομένη ὑπὸ τοῦ ἤδη ἐπισκόπου Βοθροντοῦ καὶ Γλυκέως κὺρ Παρθενίου καὶ τῶν μετ' αὐτὸν διαδεξομένων τὴν ἐπισκοπὴν ταύτην ἀνατιρρήτως καὶ ἀναποσπάστως εἰς αἰῶνα τὸν ἅπαντα, ὀφείλοντος παρέχειν περὶ τούτου κατ' ἔτος τὰ διαληφθέντα εἴκοσι γρόσια πρὸς τὸν φιλοτιμηθέντα παρὰ τῆς καθ' ἡμᾶς μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας τὴν δόσιν ταύτην, ἔχῃ δὲ πᾶσαν ἄδειαν καὶ ἐξουσίαν ὅ τε νῦν θεοφιλέστατος ἐπίσκοπος Βοθροντοῦ καὶ Γλυκέως κὺρ Παρθένιος καὶ οἱ μετ' αὐτὸν ἀρχιερατεύσοντες ἐν αὐτῇ ὑπὸ τὴν ἰδίαν ἐξουσίαν κτᾶσθαι τὴν ῥηθεῖσαν ἐξαρχίαν τοῦ Γερημερίου ὡς ἐνοριακὴν τῆς ἐπαρχίας ταύτης καὶ ἀρχιερατεύειν ἐν αὐτῇ καθὼς καὶ ἐν ταῖς λοιπαῖς χώραις αὐτῆς, εὐλογεῖν

Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

καὶ ἁγιάζειν τοὺς χριστιανοὺς καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν κατὰ τὴν περίληψιν τῆς πράξεως αὐτοῦ καὶ ποιμαίνειν αὐτοὺς ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, λαμβάνειν δὲ παρ' αὐτῶν καὶ καρποῦσθαι τὰ συνήθη ἐκκλησιαστικὰ δικαιώματα ἀνεμποδίστως. Οἱ δὲ χριστιανοὶ τῆς ἐξαρχίας ταύτης καὶ τῶν ἐν αὐτῇ χωρίων, ἱερωμένοι καὶ λαϊκοί, ὀφείλουσι γινώσκειν τὸν θεοφιλέστατον ἐπίσκοπον Βοθροντοῦ καὶ Γλυκέως γνήσιον αὐτῶν ἀρχιερέα καὶ πνευματικὸν ποιμένα καὶ προστάτην, μνημονεύειν τε τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ πείθεσθαι καὶ ὑποτάσσεσθαι αὐτῷ ὡς ἰδίῳ ἀρχιερεῖ καὶ πνευματικῷ πατρὶ καὶ προστάτῃ, ποδηγετοῦντι αὐτοὺς καὶ διεξάγοντι κανονικῶς καὶ νουθετοῦντι καὶ παραινοῦντι τὰ ψυχωφελῆ καὶ σωτήρια, παρέχειν τε εἰρηνικῶς καὶ εὐπειθῶς τὰ ἀνήκοντα τῷ ἀρχιερεῖ ἐκκλησιαστικὰ δικαιώματα, κανονικὰ δηλαδή, συνοικέσια, πανηγύρεις, ἐμβατοίκια, ζητείας καὶ εἴτι ἄλλο τῷ τόπῳ σύνηθες, μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος, ἱερωμένου ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ τοῦ ἀπὸ Θεοῦ Παντοκράτορος. Ὅθεν καὶ εἰς ἔνδειξιν ἀπελύθη καὶ τὸ παρὸν τῆς ἑνώσεως ἐπιβεβαιωτικὸν γράμμα καταστρωθὲν καὶ ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.

***

## Σιγίλλιον ἀκυρωτικὸν τῶν προηγουμένων.

Θεοφιλέστατε ἐπίσκοπε Βοθροντοῦ καὶ Γλυκέως, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ, καὶ ἐντιμότατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς καὶ χρήσιμοι γέροντες καὶ προεστῶτες τῆς ἐπαρχίας ταύτης, χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ. Τῷ δικαίοις ἀπονέμειν τὴν ψῆφον εὔλογον καὶ ἀναγκαῖον ἔδοξε παρὰ νοῦν ἔχουσι δικασταῖς, εὐθυβόλως ζυγοστατεῖν καὶ κατὰ στάθμην δικαίου εἰδόσι κρίνειν τὰ πράγματα, ἅπερ ἅπαξ τε καὶ πολλάκις σὺν τῷ δικαίῳ διορισθέντα τε καὶ ἀποφανθέντα πάσαις ψήφοις ἀνάγκην τὴν νικῶσαν ἐπάγεται, καὶ ὡς ἐπ' ἀσφαλοῦς ἀγκύρας τῆς εὐσταθείας ἑδράζεται, ἀναντίρρητον, καὶ ἀμετακίνητον ὅλως τὴν διαμονὴν καὶ σύστασιν ἔχοντα, κἂν ποτε τυχὸν ἐς ὕστερον φθάσῃ παλιντρόπῳ καιροῦ φορᾷ τὰ δίκαια τῆς εὐθείας παρεκτραπῆναι καὶ ἄλλως πως βίᾳ καὶ δυναστείᾳ καινοτομηθῆναι, ὀψέποτε μέντοι τῆς ἀληθείας εἰς μέσον ἀναφανείσης καὶ τρανώτερον ἡλίου ἀποδειχθείσης τὴν προτέραν σύστασιν ἐπαναλαμβάνει καὶ εἰς τὴν προσήκουσαν ἀνακαλούμενα χώραν ἀποκαθίσταται. Ἐπειδὴ τοιγαροῦν πρὸ ἱκανοῦ ἤδη καιροῦ ἐπὶ τῶν ἡμερῶν δηλαδὴ τοῦ προπατριαρχεύσαντος παναγιωτάτου πατριάρχου πρώην Κωνσταντινουπόλεως κυρίου Κυρίλλου τοῦ ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἀδελφοῦ καὶ συλλειτουργοῦ τῆς ἡμῶν μετριότητος ἐδωρήθη κατὰ Πα-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

τριαρχικὴν φιλοτιμίαν δι᾽ εὐεργετηρίου γράμματος τῆς ἐκείνου Παναγιότητος ἡ ἐν τῇ ἐπαρχίᾳ σου ἡμετέρα Πατριαρχικὴ ἐξαρχία τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου Γηρομερίου τῷ τιμιωτάτῳ καὶ εὐγενεστάτῳ ἄρχοντι Δικαιοφύλακι τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κυρίτζη Γεωργάκη Καλλιάρχῃ υἱῷ κατὰ πνεῦμα ἀγαπητῷ τῆς ἡμῶν μετριότητος, ἐξ ἧς ἐνέμετο καὶ ἐκαρποῦτο καὶ ἐλάμβανε κατ᾽ ἔτος τεσσαράκοντα γρόσια, ἀλλ᾽ ἐπὶ τοῦ πρὸ ἡμῶν ὁπωσδήπως κατὰ παραχώρησιν Θεοῦ ὑπεισφρήσαντος κακοΣεραφείμ, εὐλόγου μὲν αἰτίας ἐπειλημμένης μηδεμιᾶς, φιλοδίκῳ δὲ γνώμῃ καὶ δυναστείᾳ κινουμένου, ἔφθασε προεκδοθῆναι γράμμα αὐτοῦ ἐν μεμβράναις πατριαρχικὸν συνοδικόν, διορίζον κακῶς καὶ παραλόγως πάντη ἀποφαινόμενον, ὅπως τοῦ λοιποῦ ὁ ῥηθεὶς τιμιώτατος ἄρχων δικαιοφύλαξ τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας ἔχῃ λαμβάνειν καὶ καρποῦσθαι κατ᾽ ἔτος ἀπὸ τῆς ῥηθείσης ἡμετέρας πατριαρχικῆς ἐξαρχίας γρόσια εἴκοσι μόνον, ὡς ἔγνωμεν ἤδη καὶ ἐβεβαιώθημεν καλῶς ὅτι ἥ τε αὐτοῦ εὐγένεια καὶ οἱ κατὰ καιροὺς ἐξαρχικῶς νεμόμενοι αὐτὴν ἀείποτε ἄνωθεν καὶ ἐξ ἀρχῆς τεσσαράκοντα γρόσια ἐκαρποῦντο καὶ ἐλάμβανον ἀπ᾽ αὐτῆς, τὸ δὲ προεκδοθὲν γράμμα κατὰ πάθος καὶ πεισμονὴν καὶ τυραννικὴν βίαν καὶ δυναστείαν ἐξεδόθη καὶ οὐχὶ τῷ λόγῳ τῆς Θέμιδος καὶ τοῦ δικαίου, τούτου χάριν ἡ Μετριότης ἡμῶν συνάρσει θείᾳ ἐπὶ τὴν ἀνωτάτην προβιβασθεῖσα ταύτην περιωπὴν καὶ πρὸς οὐδένα ἄλλον σκοπόν, ὅτι μὴ τὸ δίκαιον καὶ τὴν τούτου παρατραπέντος, εἰ τύχοι, ἀποκατάστασιν καὶ τὰ μὴ καλῶς καὶ εὐλόγως διορισθέντα φυλάττειν ἀπαρεγχείρητα, ἐξισάζειν δὲ τὰ διάστροφα καὶ τρόποις παντοίοις ἐπὶ τὸ εὐθύτερον κατὰ χρέος ἀποκαθιστᾶν, γράφει καὶ ἀποφαίνεται συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ μὲν ὁπωσδήπως προεκδοθὲν παρὰ τοῦ πρὸ ἡμῶν κακοΣεραφεὶμ ἰδίᾳ αὐτονομίᾳ καὶ βίᾳ τυραννικῇ κατὰ τὸ «ἔστω ἡ ἰσχὺς ἡμῶν νόμος», γράμμα ἐκεῖνο ὡς ἡμαρτημένον καὶ ἐπιλήψιμον καὶ βίαιον καὶ κακόσχολον καὶ ἐκκήρυκτον, ἄκυρον μένῃ καὶ ἀνίσχυρον καὶ ἀνενέργητον καὶ ἀντ᾽ οὐδενὸς λογιζόμενον. Τὰ γὰρ κατὰ ἀπάτην καὶ βίαν κριθέντα καὶ τυπωθέντα οὔτε νόμος οὔτε χρόνος οὔτε συνήθεια βεβαιοῖ, καθὼς ῥητῶς οἱ θεῖοι νόμοι διακελεύονται. Ὁ δὲ ῥηθεὶς εὐγενέστατος ἄρχων δικαιοφύλαξ κυρίτζη Γεωργάκης ὀφείλει καρποῦσθαι καὶ λαμβάνειν κατ᾽ ἔτος ἐφ᾽ ὅρου ζωῆς αὐτοῦ ὡς καὶ πρότερον κατὰ τὴν ἀρχῆθεν ἐπικρατήσασαν συνήθειαν ἀνὰ τεσσαράκοντα γρόσια ἀνελλιπῶς καὶ ἀμειώτως ὡς ἐξαρχικὸν αὐτοῦ δίκαιον, ἔχων ἄδειαν αὐτοτελῆ καὶ ἐξουσίαν διορίζειν καὶ ἀποκαθιστᾶν ἐν αὐτῇ ὃν ἂν βούλοιτο ἐπίτροπον καὶ παρ᾽ αὐτοῦ λαμβάνειν τὸ ἐτήσιον αὐτοῦ ἀπαραμειώτως, μηδενὸς ἐναντιουμένου ἢ τὸ παράπαν ἀντιλέγοντος, ἐξ ἀποφάσεως. Ὀφειλόντων καὶ πάντων τῶν ἐν τῇ ἐξαρχίᾳ ταύτῃ ἱερωμένων ἢ λαϊκῶν γινώσκειν τὸν ῥηθέντα ἄρχοντα δικαιοφύλακα καθολικὸν αὐτῶν ἐξαρ-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

χον καὶ πᾶσαν τιμὴν ἀπονέμειν αὐτῷ τε καὶ τῷ παρ' αὐτοῦ διοριζομένῳ ἐπιτρόπῳ καὶ διδόναι αὐτῷ ἀπροφασίστως καὶ ἀναντιρρήτως κατ' ἔτος ἐφ' ὅρῳ ζωῆς αὐτοῦ κατὰ τὴν ἀνέκαθεν συνήθειαν τεσσαράκοντα γρόσια καὶ κατ' οὐδὲν αὐτῷ ἀντιφέρεσθαι ὅλως ἢ ἐναντιοῦσθαι ἀτάκτως. Ὅστις δ' ἂν καὶ ὁποῖος τῶν πάντων ἱερωμένος ἢ λαϊκὸς φανῇ ἐναντίος καὶ ἀπειθὴς κατά τι καὶ ἀνυπότακτος τῇ ἐκκλησιαστικῇ ἡμῶν ταύτῃ νομίμῳ τε καὶ δικαίᾳ ἀποφάσει καὶ φωραθῇ καταφρονητὴς τῆς ἀληθείας καὶ τοῦ δικαίου καὶ τολμήσῃ οἱῳδήτινι τρόπῳ αὖθις καταβιβάσαι τὸ ἀνέκαθεν διωρισμένον ἐτήσιον τῆς ἐξαρχίας ταύτης τῶν τεσσαράκοντα γροσίων καὶ ζημίαν ἐπαγαγεῖν τῷ ἐξαρχικῶς ἤδη αὐτῇ νεμομένῳ, ὁ τοιοῦτος ὡς ἐχθρὸς τῆς ἀληθείας καὶ παραβάτης τοῦ δικαίου καὶ διεστραμμένος καὶ κακοκέφαλος ἱερεὺς μὲν ὢν ἀργὸς μείνῃ τό γε νῦν ἔχον πάσης ἱεροπραξίας καὶ ἐστερημένος παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος, παρ' οὐδενὸς συμφορούμενος ἢ συλλειτουργούμενος, ἢ τὴν χεῖρα ἀσπαζόμενος ἢ ὡς ἱερεὺς τιμώμενος, λαϊκὸς δὲ ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος καὶ πάσαις ταῖς πατριαρχικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης καὶ ἔξω τῆς τοῦ Χριστοῦ Ἐκκλησίας καὶ τῆς τῶν εὐσεβῶν χριστιανῶν ὁμηγύρεως. Οὕτω γενέσθω καὶ μὴ ἄλλως ἐξ ἀποφάσεως. Ὅθεν εἰς τὴν περὶ τούτου ἔνδειξιν καὶ μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐξεδόθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν βεβαιωτήριον τῆς ἐκκλησιαστικῆς ἀποφάσεως γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

*αψξα', μηνὶ Ἰουλίῳ ἰνδικτιῶνος θ'*

† ὁ Νικομηδείας *Νικηφόρος,* † Ὁ Νικαίας *Ἱερεμίας,* † Ὁ Χαλκηδόνος *Ἰωαννίκιος,* † Ὁ Τορνόβου *Θεόφιλος,* Ὁ Βερροίας *Σαμουήλ,* † ὁ Μυτιλήνης *Ἄνθιμος,* Ὁ Σόφιας *Ἱερεμίας,* † Ὁ Βάρνης *Καλλίνικος.*

***

## Σιγίλλιον προβιβάζον τὴν Γηρομερίου εἰς ἐπισκοπήν [4].

*† Νεόφυτος, ἐλέῳ Θεοῦ κλπ.*

Προνοητικὴ τῶν οἰκείων καθέστηκεν ἡ κοινὴ αὕτη μήτηρ ἁγία τοῦ Χριστοῦ μεγάλη Ἐκκλησία καὶ κατὰ τὴν τοῦ καιροῦ καὶ τῶν πραγμάτων χρείαν οἰκονομεῖν οἶδε τὰ ὑπ' ἐξουσίαν αὐτῆς τελοῦντα καὶ μεταρρυθμίζειν καὶ μεθιστᾶν καὶ τὴν τούτων διοίκησιν καὶ ἐπιστασίαν ἐπιτρέπειν ὁτὲ μὲν ἄλλῳ ὁτὲ δὲ ἑτέρῳ κατὰ τὰ αἴτια καὶ τὰς περιστάσεις, σκοπὸν μέντοιγε ἔχουσα τὸ συμφέρον, τὸ λυσιτελὲς καὶ ἀναγκαῖον τῶν οὑτωσὶ μεταρρυθμιζομέ-

4) *Κώδ.* Η'. 371.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

νων, ἅπερ αὐθεντικῇ καὶ ὑπεροχικῇ ἐξουσίᾳ καὶ μὴν καὶ ἐκκ/κῇ προνοίᾳ ἀποκαθιστᾶν ἐπὶ τὸ βελτίον καὶ κοινῇ συμφέρον οὐκ ἀπαναίνεται. Τῆς δὲ τοιαύτης οἰκονομίας καὶ μεταρρυθμίσεως ἐπὶ τὸ σωτήριον, τοῦτ' αὐτό ἐστι τὸ νόμιμον, τὸ θεοφιλές, τὸ δίκαιον καὶ ἀναγκαῖον, φωνὴν οἱονεὶ ἐπαφιὲν τὴν κατὰ χώραν ἀποκατάστασιν τῶν θεοφιλῶν καὶ προσόντων ἐφελκόμενα. 'Επειδὴ τοιγαροῦν καὶ ἐν τῇ ἐπαρχίᾳ 'Ιωαννίνων κεῖται ἱερὸν καὶ σεβάσμιον ἡμέτερον πατριαρχικὸν καὶ σταυροπηγιακὸν μοναστήριον τοῦ Γηρομερίου ἐπιλεγόμενον, ἔχον συμνημμένα καὶ ὑποκείμενα αὐτῷ τὰ πλησίον καὶ πέριξ χωρία, ἅτινα ὡς ἀφῃρημένα καὶ κεχωρισμένα τῆς ἁγιωτάτης μητροπόλεως 'Ιωαννίνων ἔλαχον τάξεως ἐξαρχίας καὶ ἐκαλοῦντο μετὰ τοῦ εἰρημένου μοναστηρίου *«πατριαρχικὴ ἐξαρχία»*, ἀπὸ καιροῦ εἰς καιρὸν κατὰ πατριαρχικὴν φιλοτιμίαν δωρουμένη ἐξάρχοις, ὁ δὲ κατὰ καιροὺς ἐν τῷ σταυροπηγιακῷ μοναστηρίῳ ἀποκαθιστάμενος ἡγούμενος, ὡς ἐπίτροπος τοῦ καθολικοῦ ἐξάρχου ἐφρόντιζε τῆς εὐσταθείας αὐτοῦ καὶ διοικήσεως καὶ τῆς τῶν ἐν τοῖς χωρίοις χριστιανῶν ἐκκλ]κῆς ἐπισκέψεως καὶ οὕτωσὶ ᾠκονομοῦντο ἀπερισκέπτως τε καὶ ἀπρονοήτως, ἅτε δὴ μὴ οὔσης αὐτοῖς τῆς ἀναγκαίας ἀρχικῆς προστασίας καὶ κατὰ πρόνοιαν ἐπιμελείας τῆς σωτηρίας αὐτῶν καὶ ὁδηγίας ἐπὶ τὰ θεοφιλῆ ἔργα, ὁδοποιοῦντα τοὺς εὐσεβεῖς εἰς τὴν θείαν δόξαν καὶ ἀπόλαυσιν τῆς αἰωνίου μακαριότητος, κἀκ τούτου συνέβαινον οὐ μόνον ἀκαταστασίαι καὶ διαφοραὶ πρὸς ἀλλήλους καὶ ἀλληλομαχίαι καὶ διενέξεις πότε μὲν μετὰ τοῦ κατὰ καιρὸν ἡγουμένου, ἄλλοτε δὲ μετὰ τῶν ὑπ' ἐκείνου διωρισμένων ἐν τοῖς χωρίοις ἱερέων καὶ προκαλοῦντες πρὸς τὴν ἐκκλησίαν δι' ἐνυπογράφων θατέρου μέρους ἀναφορῶν, ἀντικειμένων ἀλλήλων ἀλλὰ φεῦ ! καὶ παρεκτροπαὶ τῶν νομίμων καὶ καθηκόντων καὶ τῶν ἐκκλ. θεσμοθεσιῶν. Διὸ δὴ καὶ ἡ ἐκκλησία συνεβούλευσεν αὐτοῖς πολλαχῶς τὰ πρὸς διόρθωσιν τῶν ἠθῶν αὐτῶν καὶ ἐθῶν, ἀποφαινομένη ἐν πνεύματι πραότητος διὰ πατριαρχικῶν καὶ συνοδικῶν αὐτῆς γραμμάτων τὴν διατήρησιν τῶν θείων καὶ ἱερῶν νόμων καὶ τῶν πατροπαραδότων παραδόσεων καὶ τῶν τῆς ἀμωμήτου ἡμῶν πίστεως, ἐπὶ τῷ διακρατεῖν ἐσαεὶ ἀπαράτρεπτα καὶ ἀπαράβατα, διοριζομένη καὶ ἀρχιερέα ὅπως καὶ ἀπὸ ζώσης ἐκείνου φωνῆς ἀκούσαντες τῶν εὐκταίων αὐτῶν καὶ σωτηρίων ὠφεληθῶσι τὰ μέγιστα καὶ τῷ ἀρχιερατικῷ ὑποδείγματι ἐλλαμφθέντες διασωθῶσι, προνοητικῶς τοῦτο ποιοῦσα εἴ γε μὴ ἀποκατασταθῇ ἐν τῇ παροικίᾳ ταύτῃ γνήσιος νόμιμος καὶ κανονικὸς ἀρχιερεύς, οὐκ ἂν λάβωσι τὴν ἀναγκαίαν αὐτῶν εὐστάθειαν καὶ τὸ πάγιον καὶ τὴν ἐπ' ἀλλήλοις εἰρήνην καὶ κατὰ Χριστὸν σύμπνοιαν καὶ ἀγάπην καὶ ὅσα ἔξεστι τοῖς εὐσεβέσι καὶ ὀρθοδόξοις διακρατεῖν ἀπαραμειώτως, ἀλλ' αἱ καιρικαὶ περιστάσεις διεκώλυον τὸ τοῦ ἐνθέου αὐτῆς σκοποῦ ἐξαγοραζομένης τὸν καιρὸν καὶ οἰκονομούσης κατ' ἄλλον τρόπον τὰ τῆς σωτηρίας αὐτῶν· ἤδη δὲ πληροφορηθέντες συνοδικῶς ἀπὸ ζώσης φωνῆς τῶν παρισταμένων ἐκκλησιαστικῶν τιμιωτάτων προεστώτων καὶ ἐπιτρόπων τῆς Κοινότητος τῶν ἐν 'Ιωαννίνοις χριστιανῶν τὴν ἀποβίωσιν τοῦ ἐν ἐκείνῳ τῷ σταυροπηγιακῷ μο-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ναστηρίῳ ἡγουμενεύοντος......καὶ προβαλλόντων τὸν ἔνθεον πόθον ὃν ἔχουσιν οἱ ἐν τοῖς χωρίοις ἐκείνοις εὐσεβεῖς καὶ ὀρθόδοξοι χριστιανοὶ τοῦ ἀξιωθῆναι ἀρχιερατικῆς προστασίας τοῦ λοιποῦ καὶ ἐπισκέψεως ὡς πάνυ συμφερούσης αὐτοῖς καὶ ἀναγκαίας καὶ συντηρητικῆς τῆς εὐνομίας αὐτῶν καὶ ἐν πᾶσιν ἀνέσεως καὶ εὐκαταστάσεως, ἔγνωμεν γνώμῃ κοινῇ καὶ συνοδικῇ εὐλόγῳ ἀποφάσει μεταρρυθμίσαι τὴν πατριαρχικὴν ταύτην ἐξαρχίαν καὶ ἀποκαταστῆσαι ἐν τῷ ῥηθέντι μοναστηρίῳ καὶ τοῖς συνημμένοις αὐτῷ καὶ ὑποκειμένοις χωρίοις γνήσιον, νόμιμον καὶ κανονικὸν ἀρχιερέα καὶ τοῦτο οὐχ ἁπλῶς οὐδ' ἀπολύτως, ἀλλὰ προσηλωθῆναι τὴν ἐπαρχίαν ταύτην τῇ ἁγιωτάτῃ μητροπόλει Ἰωαννίνων καὶ ἀποκατασταθῆναι ἐπισκοπὴν ὑποκειμένην αὐτῇ διὰ παντὸς ὥστε εἶναι καὶ λέγεσθαι πέντε ἐπισκοπάς προστιθεμένην καὶ ταύτην τῆς ἁγιωτάτης μητροπόλεως Ἰωαννίνων καὶ καλουμένην *«Γηρομερίου»* καὶ συνημμένην ἀναφαιρέτως καὶ ἀναποσπάστως, διεξαγομένην τε καὶ διακυβερνωμένην παρὰ τοῦ κατὰ καιροὺς μητροπολίτου Ἰωαννίνων ὡς κυριάρχου καὶ αὐτῆς ὅπως τῇ κυριαρχικῇ αὐτοῦ προστασίᾳ διὰ κανονικῶν ψήφων ἐκλέγηται καὶ χειροτονῆται ὑπ' αὐτοῦ ὁ ἐν αὐτῇ ἀποκατασταθησόμενος ἀρχιερεὺς καὶ ῥυθμίζηται ἐπισκεπτόμενος προσεχῶς καὶ δι' αὐτοῦ ὁ ἐπιτετραμμένος αὐτῷ χριστεπώνυμος καὶ περιούσιος λαός· διὸ δὴ ἐπιτέτραπται παρὰ τῆς ἐκκλησίας ἐν πληρεξουσιότητι ἡ τελεία κυριαρχία καὶ ἐξουσία τῆς ὑποκειμένης ταύτης ἐπισκοπῆς Γηρομερίου πρὸς τὸν ἤδη ἱερώτατον μητροπολίτην Ἰωαννίνων ὑπέρτιμον καὶ ἔξαρχον πάσης Κερκύρας ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸν ἡμῖν ἀδελφὸν καὶ συλλειτουργὸν κὺρ Ἱερόθεον καὶ τοὺς μετὰ ταῦτα διαδόχους αὐτοῦ ἐπὶ τῷ ἔχειν τὴν αὐτοῦ ἱερότητα ἀμέσως πᾶσαν ἄδειαν ἐκλέξασθαι τὸν ἄξιον καὶ ἀνεπίληπτον καὶ μετὰ τὰς κανονικὰς αὐτοῦ ψήφους χειροτονῆσαι ἐπίσκοπον ἐπ' ὀνόματι Γηρομερίου καὶ ἀναδεῖξαι ἐν αὐτῇ τῇ ἐπισκοπῇ γνήσιον, νόμιμον καὶ κανονικὸν ἀρχιερέα καὶ εὐαγγελικὸν ποιμένα καὶ φροντιστὴν τῆς ψυχικῆς σωτηρίας τοῦ χριστεπωνύμου πληρώματος καὶ διοικητὴν ἐπ' ἐξουσίᾳ ἐλευθέρᾳ τοῦ ῥηθέντος ἱεροῦ μοναστηρίου καὶ πάντων τῶν μετοχίων αὐτοῦ καὶ πραγμάτων καὶ ἀφιερωμάτων, ζῴων τε καὶ ἄλλων κινητῶν τε καὶ ἀκινήτων πραγμάτων καὶ τῶν λοιπῶν τῶν παντοίων τῶν τε ἤδη ὄντων καὶ τῶν εἰσέπειτα προσγενησομένων ἂν καὶ καθέζεσθαι ἐν αὐτῷ καὶ ἔχειν καὶ ὀνομάζειν ἐπισκοπὴν αὐτοῦ, νέμεσθαί τε καὶ καρποῦσθαι τὰς ἐξ αὐτοῦ προσόδους καὶ ἐπικαρπίας καὶ τὰ γεννήματα καὶ πάνθ' ὅσα ἄλλα εὐποροῦσι τὰ μοναστηριακὰ κτήματα καὶ ἔχειν πάντα εἰς ἰδίαν αὐτοῦ χρῆσιν καὶ δεσποτείαν ὡς ἐπισκοπικὰ κτήματα ἀναφαίρετα καὶ ἀναπόσπαστα εἰς ἅπαντα τὸν αἰῶνα· ὀφείλοντα μέντοι ὑπείκειν καὶ ὑποτάσσεσθαι ἐσαεὶ τῷ κυριάρχῃ αὐτοῦ καὶ μνημονεύειν τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος καὶ φυλάττειν τὰ καθήκοντα τῷ ἐπισκοπικῷ αὐτοῦ χαρακτῆρι καὶ ποιεῖν ἀπαραβάτως καὶ εὐπειθῶς μετὰ τῶν λοιπῶν συνεπισκόπων αὐτῷ καὶ ἀποδιδόναι κατ' ἔτος ζητομηρίον ἀνὰ πεντήκοντα γρόσια εἰς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χρ. Μ. Ἐκκλησίας, καὶ λαμβάνειν τὴν πατριαρχικὴν καὶ συνοδικὴν περὶ τούτου ἀπό-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

δειξιν αὐτοῦ ὡς καὶ οἱ λοιποὶ ἀρχιερεῖς, ἀποστέλλειν δὲ πρὸς τὸν ἔξαρχον καὶ τὸ διωρισμένον αὐτῷ ἐξαρχικὸν ἐτήσιον εἴκοσι γρόσια· τούτου χάριν καὶ γράφοντες διὰ τοῦ παρόντος ἡμετέρου ἐκκλησιαστικοῦ σιγγιλλιώδους γράμματος ἐπικυροῦμεν πάνυ εὐλόγως καὶ νομίμως τὴν αἰσίαν καὶ ἐπωφελῆ μεταρρύθμισιν καὶ ἀποκατάστασιν τῆς ἁγιωτάτης ταύτης ἐπισκοπῆς Γηρομερίου καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγ. πν. ἀγ. ἡμῶν ἀδ. καὶ συλλειτουργῶν ἵνα ἡ ῥηθεῖσα ἁγιωτάτη *Ἐπισκοπὴ Γηρομερίου* εἴη καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ὑποκειμένη τῇ ἁγιωτάτῃ μητροπόλει 'Ιωαννίνων καὶ συνημμένη διὰ παντὸς ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ ὁ ἐν αὐτῇ ἀποκαθιστάμενος ἐπίσκοπος ἔχῃ ἐκλέγεσθαι διὰ κανονικῶν ψήφων καὶ χειροτονεῖσθαι παρὰ τοῦ γνησίου κυριάρχου αὐτοῦ ἱερωτάτου μητροπολίτου 'Ιωαννίνων μνημονεύων τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος καὶ ὑποτασσόμενος αὐτῷ καὶ φυλάττων πάντα τὰ ἀνήκοντα τῷ ἐπισκοπικῷ αὐτοῦ χαρακτῆρι, ὀφείλων ἀρχιερατεύειν θεοφιλῶς ἐν τοῖς ὁρίοις τῆς ἐπισκοπῆς αὐτοῦ καὶ ποιμαίνειν θεαρέστως τὸ ἐμπιστευθὲν αὐτῷ λογικὸν τοῦ Χριστοῦ ποίμνιον καὶ ἐνεργεῖν ἐλευθέρως πάντα τὰ ἀρχιερατικὰ ὑπουργήματα μετὰ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως καὶ ἐπιτελεῖν χειροτονίας ἱερέων, ἱερομονάχων καὶ ἱεροδιακόνων καὶ ὑποδιακόνων, κείρειν τε ἀναγνώστας μοναχούς τε καὶ μοναζούσας καὶ σφραγίζειν κληρικοὺς καὶ διορίζεσθαι πνευματικοὺς δι' ἰδίων ἀρχιερατικῶν αὐτοῦ ἐνταλτηρίων γραμμάτων καὶ ἔχειν ὑπὸ τὴν ἰδίαν αὐτοῦ ἐξουσίαν καὶ διοίκησιν ὡς ἐπισκοπικὰ κτήματα πάντα τὰ μοναστηριακὰ πράγματα καὶ ἀφιερώματα κινητά τε καὶ ἀκίνητα καὶ καθίζεσθαι ἐν αὐτῇ ὡς ἐπισκοπῇ αὐτοῦ οὔσῃ ὡς ἐξουσιαστὴν αὐτοῦ γνήσιον καὶ ἐπιμελεῖσθαι τῆς αὐξήσεως καὶ βελτιώσεως αὐτοῦ καὶ ἀποδιδόναι εὐγνωμόνως καὶ ἀνελλιπῶς τὰ κατ' ἔτος διορισθέντα αὐτῷ ὡς ἀνωτέρω διείληπται, ὁ δὲ κυριάρχης αὐτοῦ γνωρίζων τὴν ἐπισκοπὴν ταύτην γνήσιον μέλος τῆς ἁγιωτάτης αὐτοῦ μητροπόλεως ἀναφαίρετον καὶ ἀναπόσπαστον καὶ τὸν ἐν αὐτῇ ἀρχιερατεύοντα ὑποκείμενον αὐτῷ ὀφείλει προνοεῖν ὑπὲρ τῆς ἀσφαλείας αὐτοῦ καὶ τῆς ἁγιωτάτης ταύτης ἐπισκοπῆς καὶ τῆς εὐταξίας, εἰρήνης τε καὶ σωτηρίας τῶν ἐν αὐτῇ χριστιανῶν ἱερωμένων καὶ λαϊκῶν. Ταῦτα τοίνυν ὡς λίαν θεοφιλῆ καὶ συμφέροντα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς, ὅστις δὲ τῶν χριστιανῶν ἱερωμένος ἢ λαϊκὸς ἑκάστης τάξεως καὶ βαθμοῦ ἐπιχειρήσῃ ποτὲ ἀνατρέψαι καθ' οἱονδήτινα τρόπον τὰ ἐν τῷ παρόντι ἐκκλησιαστικῶς ἐκτεθέντα καὶ ἀποξενῶσαι τὴν ἐπισκοπὴν ταύτην Γηρομερίου τῆς ἁγιωτάτης μητροπόλεως 'Ιωαννίνων ἢ ἄλλως πως μετακινῆσαι καὶ ἐπήρειάν τινα ἢ ἐνόχλησιν προξενῆσαι τῷ κυριάρχῃ αὐτῆς ἢ τῷ παρ' αὐτοῦ διωρισμένῳ ἐπισκόπῳ καὶ ἐναντιωθῆναι ἐμμέσως ἢ ἀμέσως τῇ τῆς ἐκκλησίας εὐθείᾳ καὶ δικαίᾳ ἀποφάσει, οἱ τοιοῦτοι ὁποῖοι ἂν ὦσιν ὡς κακότροποι καὶ ὀλίγωροι τῶν νομίμων καὶ καθηκόντων ἀφωρισμένοι ὑπάρχωσι ἀπὸ Θεοῦ Κυρίου Παντοκράτορος καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

μετὰ θάνατον ἄλυτοι καὶ τυμπανιαῖοι καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνοι καὶ ἔνοχοι τοῦ πυρὸς τῆς γεέννης καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικοι. Διὸ εἰς τὴν περὶ τούτου ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἀπελύθη τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγγιλλιῶδες ἐν μεμβράναις ἐπικυρωτικὸν γράμμα, καταστρωθὲν δὲ κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χρ. Μ. Ἐκκλησίας ἀπεστάλη τῷ ρηθέντι ἱερωτάτῳ μητροπολίτῃ Ἰωαννίνων κὺρ Ἱεροθέῳ ὡς κυριάρχῃ καὶ τῆς ἁγιωτάτης ἐπισκοπῆς Γηρομερίου.

*αω'. κατὰ μῆνα Μάϊον, ἰνδ. γ'.*

† *Νεόφυτος ἐλέῳ Θεοῦ κλπ.*
† ὁ Ἡρακλείας *Μελέτιος*, † ὁ Κυζίκου *Ἰωακείμ*,
† ὁ Χαλκηδόνος *Ἱερεμίας*, † ὁ Δέρκων *Μακάριος*,
† ὁ Θεσσαλονίκης *Γεράσιμος*, † ὁ Τυρνόβου *Ματθαῖος*,
† ὁ Νεοκαισαρείας *Ἠσαΐας*, † ὁ Λαρίσσης *Διονύσιος*, † ὁ Ἀγκύρας *Ἰωαννίκιος*, † ὁ Μαρωνείας *Νεόφυτος*.

* * *

## Σιγίλλιον ἑνωτικὸν τῶν ἐπισκοπῶν Παραμυθίας καὶ Γηρομερίου [6]

† *Καλλίνικος ἐλέῳ Θεοῦ κλπ.*

Ὅσα μὲν κατὰ καιροὺς ὁσίως τε καὶ καλῶς ἐναρξάμενα καὶ ἔκβασιν ἀγαθὴν ἐσχηκότα ὡς ἐπὶ κρηπῖδος καὶ βάσεως ἐρειρεισμένα ἀσφαλῶς ἐπαινετά εἰσιν αὐτὰ καθ' ἑαυτὰ καὶ ἀποδοχῆς ἄξια, διὸ καὶ τῆς μᾶλλον εὐσταθοῦς αὐτῶν καταστάσεως ἡ κοινὴ αὕτη μήτηρ τοῦ Χρ. Μ. Ἐκκλησία ὡς προνοητικὴ πάντων φροντίζειν οἶδε καὶ ἐπιμελεῖσθαι παντὶ σθένει· ὅσα δὲ καλῶς μὲν δοκεῖ ἀρξάμενα καὶ ἐπ' ἀγαθαῖς ταῖς ἐλπίσι τῇ τοῦ καιροῦ μέντοιγε παρατάσει ὤφθησαν ἐκ τῶν πραγμάτων οὐκ ἀγαθὰ ἐνηνοχότα ἀποτελέσματα, ταραχῆς δὲ καὶ σκανδάλων γεγονότα παραίτια ἀπ' ἐναντίας τοῦ ἀγαθοῦ σκοποῦ τῶν ἐκεῖνα οὑτωσὶ ὡροθετηκότων ταῦτα κατὰ τὴν τοῦ καιροῦ καὶ τῶν πραγμάτων χρείαν οἰκονομεῖν καὶ μεταρρυθμίζειν καὶ μεθιστᾶν εἰκότως οὐκ ἀπολείπεται· σκοπὸν ἔχουσα τὸ νόμιμον, τὸ συμφέρον καὶ ἀναγκαῖον καὶ αὐθεντικῶς ὑπεροχικῇ ἐξουσίᾳ, ναί μὴν καὶ κηδεμονικῇ προνοίᾳ τὴν βελτίω καὶ σωτηριώδη κατάστασιν δαψιλῶς πρυτανεύουσα. Ἐπειδὴ τοιγαροῦν καὶ ἐν τῇ ἐπαρχίᾳ Ἰωαννίνων τὸ κείμενον ἱερὸν καὶ σεβάσμιον μοναστήριόν τοῦ Ἱερομερίου ἐπιλεγόμενον ὡς ἔχον συνημμένα αὐτῷ τὰ πλησίον χωρία, κεχωρισμένα δὲ ἀπὸ τῆς ἁγιωτάτης ἐκείνης μητροπόλεως ἔλαχον

6) Κώδ. Γ' 71.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ...
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ἐξαρχικῆς τάξεως καὶ ἐκαλοῦντο μετὰ τοῦ εἰρημένου ἱεροῦ μοναστηρίου μιᾷ φωνῇ *πατριαρχικὴ ἐξαρχία* ἀπὸ καιροῦ εἰς καιρὸν δωρουμένη ἐξάρχοις· ἀλλ' ἐπειδὴ συνέβαινον πολλαὶ καὶ διάφοροι παρεκτροπαὶ τῶν νομίμων καὶ καθηκόντων τοῖς ἐκεῖ κατοίκοις εὐσεβέσιν ἱερωμένοις καὶ λαϊκοῖς τῇ ἀμελείᾳ καὶ ἀμαθείᾳ τοῦ κατὰ καιρὸν ἡγουμενεύοντος προϊσταμένου ἐπιτροπικῶς τοῦ καθολικοῦ ἐξάρχου καὶ παρηκολούθουν οὐ μόνον ἀλληλομαχίαι καὶ ἀκαταστασίαι, ἀλλὰ καὶ παρανομίαι καὶ ἄλλα ἐναντία τῷ ἱερῷ ἐπαγγέλματι καὶ τῷ χριστιανικῷ πολιτεύματι ὡς ὑστερουμένῳ τῆς ἀμέσου ἀρχιερατικῆς προστασίας καὶ πνευματικῆς ἐπισκέψεως καὶ τῆς θεοφιλοῦς ὁδηγίας τῆς ὁδοποιούσης ἀναμφιβόλως εἰς τὰ σωτηριώδη ἔργα καὶ τὴν ἀπόλαυσιν τῆς θείας δόξης καὶ αἰωνίου μακαριότητος, διά τοι τοῦτο κατὰ πρόνοιαν ἐκκλησιαστικὴν κέκριται συνοδικῶς καὶ ἀπεφάνθη τὴν λεγομένην ἐκείνην ἐξαρχίαν μεθ' ὅλων τῶν συνημμένων αὐτῇ χωρίων γενέσθαι ἐπισκοπὴν ὑποκειμένην τῇ ἁγιωτάτῃ μητροπόλει 'Ιωαννίνων ὡς τοῖς ὁρίοις αὐτῆς ἐμπεριεχομένην καὶ διὰ κανονικῶν ψήφων καὶ ἐκλογῆς χειροτονηθῆναι παρὰ τοῦ ἱερωτάτου μητροπολίτου 'Ιωαννίνων ὑπερτίμου καὶ ἐξάρχου πάσης Κερκύρας ἐν ἁγ. πν. ἀγ. ἡμῶν ἀδελ. καὶ συλλειτ. κὺρ 'Ιεροθέου ἀρχιερέα *'Ιερομερίου* καλούμενον καὶ ἀποκατασταθῆναι ἐν αὐτῇ γνήσιον νόμιμον καὶ κανονικὸν εἰς ἀρχιερατικὴν ποιμαντορίαν καὶ πνευματικὴν ἐπίσκεψιν τοῦ ἐκεῖ χριστωνύμου πληρώματος καὶ εἰς ἀπαράτρεπτον φυλακὴν τῶν θείων νόμων καὶ ἐντολῶν καὶ τῶν ἱερῶν ἀποστολικῶν κανόνων καὶ τῶν ἐκτελεστικῶν ὅρων καὶ θεσμῶν καὶ τῶν ὀρθῶν τῆς ἀμωμήτου ἡμῶν πίστεως δογμάτων ὃς δὴ κατὰ τὴν ἐγγράφως ἔννομον ἐκκλησιαστικὴν διάταξιν καὶ πατριαρχικὴν καὶ συνοδικὴν εὔλογον ἀπόφασιν ψηφισθεὶς κατ' ἐκλογὴν κεχειροτόνηται ἀρχιερεὺς παρὰ τῆς ἐκείνου ἱερότητος νομίμως τε καὶ κανονικῶς· ἀλλ' ἐπειδὴ φθόνῳ καὶ συνεργείᾳ τοῦ μισοκάλου συνέβησαν αὖθις ταραχαὶ καὶ σκάνδαλα καὶ ἀλληλομαχίαι μεταξὺ ποιμένος καὶ ποιμνίου καὶ ἀμφότεροι ἀπαρεσκόμενοι ὤφθησαν τῶν μὲν δυσανασχετούντων ἐπὶ τῇ ἀποκαταστάσει τῆς αὐτοῦ θεοφιλίας, τοῦ δὲ δυσφόρως ἔχοντος ἐπὶ τῇ πρὸς αὐτοὺς ἀρχιερατικῇ προστασίᾳ καὶ πνευματικῇ διοικήσει καὶ ἀναγκαίᾳ ἐπισκέψει καὶ πρεπούσῃ οἰκονομίᾳ ἀναφύη ἐκ τοιούτων ἀποτελεσμάτων αἴτιον δευτέρας σκέψεως καὶ κρείττονος οἰκονομίας εἰς ἀναγκαίαν θεραπείαν τῆς τοιαύτης ἀνάγκης κα' περιστάσεως καὶ κατάπαυσιν τοῦ σκανδάλου καὶ ἡσυχίαν τῶν ἐκεῖ κατοίκων εὐσεβῶν ἱερωμένων καὶ λαϊκῶν· διὸ καὶ μετὰ τὸ παραιτηθῆναι οἰκειοθελῶς τὸν προχειρισθέντα ἐκεῖνον θεοφιλέστατον ἐπίσκοπον 'Ιερομερίου συνάδελφον ἡμῶν κὺρ Σαμουὴλ ἀπὸ τῆς ἐπισκοπῆς αὐτῆς 'Ιερομερίου, ἔγνωσται τῇ ἐκείνου 'Ιερότητι καὶ τοῖς περὶ αὐτὸν θεοφιλεστάτοις ἐπισκόποις καὶ τοῖς προκρίτοις ἐπαρχιώταις αὐτοῦ εὐλογημένοις χριστιανοῖς ἑνωθῆναι αὐτὴν μετὰ τῆς ἁγιωτάτης ἐπισκοπῆς Παραμυθίας, ὥστε εἶναι καὶ λέγεσθαι καὶ παρὰ πάντων γινώσκεσθαι μίαν ἐπισκοπὴν ἰθυνομένην διεξαγομένην καὶ διακυβερνωμένην παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Παραμυθίας φροντίζοντος κατὰ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

χρέος καὶ ἐπιμελουμένου τῆς δεούσης ἀρχιερατικῆς προστασίας καὶ πνευματικῆς ἐπισκέψεως τῶν κατοίκων ὡς ὁμόρων εὐλογημένων χριστιανῶν ἱερωμένων καὶ λαϊκῶν· ἵνα ὑπὸ μιᾶς ἀρχῆς καὶ ἐπισκέψεως ἀρχιερατικῆς διεξάγωνται τὰ κατ᾽ αὐτοὺς καὶ οἰκονομῶνται θεαρέστως ποιμαινομένων θεοφιλῶς καὶ διδασκομένων πειθαρχούντων καὶ ὑποτασσομένων τῷ ἀρχιερεῖ αὐτῶν καὶ πνευματικῷ προστάτῃ, ὡς ἐπιμελουμένῳ, καὶ φροντιστῇ τῆς σωτηρίας αὐτῶν καὶ τῆς καθ᾽ ἑκάτερον τὸν ἄνθρωπον ψυχῆς τε καὶ σώματος, ἀνέσεως τε καὶ ὠφελείας καὶ διὰ τῆς τοιαύτης ἀχωρίστου ἑνώσεως ἐκ μέσου ἀρθῆναι τὰ ἀναφυέντα σκάνδαλα καὶ καταπαύσασθαι τὸν τάραχον τῆς ψυχῆς τῶν ἐκεῖ χριστιανῶν. Ταῦτα γοῦν ἀνενεχθέντα ἤδη τῇ ἡμῶν μετριότητι συνοδικῶς προκαθημένῳ παρὰ τῆς ἐκείνου Ἱερότητος ἀπεδείχθη μετὰ τὴν μετ᾽ ἐπιστασίας ἀκριβῆ ἔρευναν οὐ μόνον εὔλογα θεοφιλῆ τε καὶ νόμιμα, ἀλλὰ καὶ συμφέροντα καὶ ἀναγκαῖα ὡς πρὸς σωτηρίαν τοῦ ἐκεῖ χριστωνύμου λαοῦ ἀφορῶντα, ἅτε δὴ πολλαχῶς καὶ ἄλλων ἐν διαφόροις καιροῖς τοιουτωδῶν ἑνώσεων κατ᾽ ἐκκλησιαστικὴν γεγενημένην πρόνοιαν οἰκονομούσης κατ᾽ ἐπιείκειαν αὐτῆς τὰ λίαν συμφέροντα τῷ χριστωνύμῳ πληρώματι· ὅθεν καὶ γνώμῃ κοινῇ καὶ συνοδικῇ διαγνώσει ἔγνωμεν ἐπινεῦσαι πρὸς τὸ αἴτημα αὐτῶν περὶ τῆς τοιαύτης ἑνώσεως τῆς ῥηθείσης ἐπισκοπῆς Ἱερομερίου μετὰ τῆς ἁγιωτάτης ἐπισκοπῆς Παραμυθίας. Τούτου χάριν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγ. πν. ἀγ. ἡμῶν ἀδ. καὶ συλλειτ. ἵνα ἡ ῥηθεῖσα ποτὲ μὲν ἐξαρχία οὖσα καὶ λεγομένη Ἱερομερίου, ὕστερον δὲ ἀποκατασταθεῖσα διὰ Πατριαρχικοῦ καὶ συνοδικοῦ σιγγιλιώδους ἐν μεμβράναις γράμματος ἐπὶ τοῦ προκατόχου ἡμῶν Παναγ. πρώην Κ|Πόλεως ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητοῦ καὶ περιποθήτου ἡμῶν ἀδ. καὶ συλλειτ. κυρίου Νεοφύτου ἰδία ἐπαρχία καὶ εἰς τάξιν ἐπισκοπῆς τιμηθεῖσα καὶ ὑπαχθεῖσα τῇ ἁγιωτ. μητροπόλει Ἰωαννίνων προχειρισθέντος ἐν αὐτῇ γνωστοῦ ἐπισκόπου, οὗτινος καὶ παραιτησαμένου ἀπ᾽ αὐτῆς ἤδη οἰκειοθελῶς διὰ τὰ ἐκτεθέντα αἴτια ἀπαιτοῦντα κατ᾽ ἀνάγκην τὴν ἐκκλησιαστικὴν διευθέτησιν καὶ οἰκονομίαν· αὕτη τοίνυν ἡ ἀπολειφθεῖσα χηρεύουσα καὶ ἀπροστάτευτος καὶ ἐστερημένη τῆς ἀναγκαιοτάτης φροντίδος καὶ πνευματικῆς ἐπισκέψεως ὑπάρχῃ ἀπὸ τοῦδε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ἡνωμένη μετὰ τῆς ἁγιωτάτης ἐπισκοπῆς Παραμυθίας ἀχωρίστως καὶ λέγεται καὶ παρὰ πάντων γινώσκηται μία ἐπισκοπὴ καὶ μία ἐπαρχία ἰθυνομένη διεξαγομένη τε καὶ διακυβερνωμένη ἀρχιερατικῶς παρ᾽ ἑνὸς ἀρχιερέως τοῦ θεοφιλεστάτου ἐπισκόπου Παραμυθίας καὶ Ἱερομερίου ἐν Ἁγίῳ Πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ . . . . καὶ τῶν μετὰ ταῦτα διαδόχων αὐτοῦ, δεσποζομένη τε καὶ ἐξουσιαζομένη ἀρχιερατικῶς ὡς μία καὶ μόνη ἐξ ἀμφοτέρων οὖσα, ὅστις ἔχει ἐπ᾽ ἀδείᾳ ποιμαίνειν πνευματικῶς τὸν ἐν αὐτῇ τοῦ Κυρίου περιούσιον λαὸν καὶ διδάσκειν καὶ ποδηγετεῖν εἰς νομὰς σωτηρίους τῆς εὐαγγελικῆς χάριτος, εὐλογεῖν τε καὶ ἁγιάζειν καὶ πάντα τὰ ἀρχιερατικὰ ὡς νενόμισται ἐκτελεῖν λειτουργήματα μετὰ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθι-

Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

δρύσεως καὶ χειροτονίας ποιεῖν προχειριζόμενος τοὺς ἀξίους ἱερεῖς ἱερομονάχους διακόνους καὶ ὑποδιακόνους, κείρειν τε ἀναγνώστας μοναχοὺς καὶ μοναζούσας καὶ σφραγίζειν κληρικοὺς κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν, καὶ ἀποκαθιστᾶν πνευματικοὺς δι' ἰδίων ἀρχιερατικῶν ἐνταλτηρίων γραμμάτων, καὶ ἔχειν ὑπὸ ἰδίαν διοίκησιν καὶ δεσποτείαν τὰ ἐπισκοπικὰ κτήματα καὶ κλύτα τὰ τοῦ εἰρημένου ἱεροῦ μοναστηρίου πράγματα καὶ ἀφιερώματα κινητὰ καὶ ἀκίνητα τά τε ἤδη ὄντα καὶ τὰ εἰσέπειτα προσγενησόμενα ἄν, καὶ ἐπιμελεῖσθαι τῆς βελτιώσεως αὐτῶν καὶ αὐξήσεως, καρποῦσθαι δὲ καὶ νέμεσθαι τὰ νενομισμένα ἀρχιερατικὰ δικαιώματα καὶ εἰσοδήματα κύρια καὶ τυχηρὰ ἀνελλιπῶς· καὶ γνωρίζειν μεν ἀεὶ κυριάρχην αὐτοῦ τὸν ἱερώτατον μητροπολίτην 'Ιωαννίνων, πειθαρχεῖν τε καὶ ὑποτάσσεσθαι αὐτῷ καὶ μνημονεύειν κανονικῶς τοῦ ὀνόματος ἐκείνου, πληροῦν δὲ κατ' ἔτος εἰς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χρ. Μ. 'Εκκλησίας ἀνὰ πεντήκοντα γρόσια καὶ λαμβάνειν τὴν εἰθισμένην Πατριαρχικὴν καὶ συνοδικὴν ἀπόδειξιν ὡς καὶ τοὺς λοιποὺς συναδέλφους ἀρχιερεῖς, ἀποστέλλειν δὲ καὶ πρὸς τὸν προδιορισθέντα ἔξαρχον τὸ τεταγμένον ἐτήσιον ἤτοι εἴκοσι γρόσια ἑτοίμως καὶ ἀπαραμειώτως, ἐπαγρυπνεῖν τε ὀφειλομένως καὶ φροντίζειν τῆς εὐσταθείας τῶν ἐκεῖ ἐκκλησιῶν καὶ τῆς εὐνομίας καὶ εἰρηνικῆς συμβιώσεως καὶ κατὰ Χριστὸν θεοφιλοῦς διαγωγῆς τοῦ ἐμπιστευθέντος αὐτῷ χριστωνύμου πληρώματος ἱερωμένων καὶ λαϊκῶν, οἵτινες ὀφείλουσι τιμᾶν καὶ ἀγαπᾶν τὴν θεοφιλίαν αὐτοῦ, πειθαρχεῖν τε καὶ ὑποτάσσοσθαι κατὰ τὸ πρέπον νόμιμον τε καὶ δίκαιον καὶ παρέχειν μεθ' ἑτοιμότητος πάντα τὰ ἀνήκοντα αὐτῷ ἀρχιερατικὰ δικαιώματα, τὰ ἐκκλησιαστικὰ εἰσοδήματα κύρια καὶ τυχηρὰ κανονικὰ συνοικέσια ἐμβατίκια ζητείας δίσκους φιλότιμα καὶ πανηγύρεις προθέσεις παρρησίας καὶ ψυχομερίδια καὶ εἴ τι ἄλλο σύνηθες ἀρχιερατικὸν δικαίωμα μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος τὸ παράπαν. Ὅστις δὲ τῶν χριστιανῶν ἱερωμένος ἢ λαϊκὸς ἑκάστης τάξεως καὶ βαθμοῦ ἐπιχειρήσῃ ποτὲ διασεῖσαι τὴν ἕνωσιν ταύτην καὶ ἀποξενῶσαι καθ' οἱονδήτινα τρόπον ἀπὸ τῆς ἐπισκοπῆς Παραμυθίας ἢ ἀποσπᾶσαι τῆς ὑποταγῆς τῆς ἁγιωτάτης μητροπόλεως 'Ιωαννίνων καὶ ἄλλως πως μετακινῆσαι τὴν συναρμολογίαν τῶν ῥηθεισῶν δύο παροικιῶν ὑπὸ μίαν ἀρχιερατικὴν διοίκησιν γεγενημένων καὶ ἐπήρειάν τινα ἢ ἐνόχλησιν προξενῆσαι καὶ ὅλως τολμήσει παραλελογισμένως ἀνατρέψαι τὰ ἐν τῷ παρόντι συνοδικῶς ἐπικριθέντα καὶ ἀποφανθέντα, οἱ τοιοῦτοι ὁποῖοι ἂν ὦσι ὡς ἀλαζόνες καὶ ὀλίγωροι τῶν νομίμων καὶ καθηκόντων ἀφωρισμένοι ὑπάρχωσιν ἀπὸ Θεοῦ Κυρίου Παντοκράτορος καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ μετὰ θάνατον ἄλυτοι καὶ τυμπανιαῖοι καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνοι καὶ ἔνοχοι τοῦ πυρὸς τῆς γεένης καὶ τῇ φωνῇ τοῦ ἀναθέματος ὑπόδικοι. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς· διὸ εἰς τὴν περὶ τούτου ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο τὸ παρὸν ἡμέτερον Πατριαρχικὸν καὶ Συνοδικὸν συγγιλλιῶδες ἐν μεμβράναις γράμμα καταστρωθὲν κἀν τῷ ἱερῷ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας ἐδόθη τῷ ῥηθέντι θεοφιλεστάτῳ ἐπισκόπῳ Παραμυθίας καὶ Ἱερομερίου συναδελφῷ ἡμῶν ἀγαπητῷ κύρ....

*αωγ', κατὰ μῆνα Ἰούνιον, ἰνδικτ. στ'.*

† *Καλλίνικος ἐλέῳ Θεοῦ κτλ.*

† Ὁ Ἐφέσου *Μακάριος*, † ὁ Ἡρακλείας *Μελέτιος*, † ὁ Κυζίκου *Ἰωακείμ*, † ὁ Νικομηδείας *Ἀθανάσιος*, † Χαλκηδόνος *Ἱερεμίας*, † ὁ Δέρκων *Γρηγόριος*, † ὁ Προύσης *Ἄνθιμος*, † ὁ Νεοκαισαρείας *Μελέτιος*, † ὁ Ἰκονίου *Ραφαήλ*, † ὁ Λαρίσσης *Διονύσιος*, † ὁ Ἀγκύρας *Ἰωαννίκιος*, † ὁ Προϊλάβου *Παρθένιος*, † ὁ Πελαγωνείας *Νεκτάριος*.

*
* *

## Σιγίλλιον ἀποκαταστάσεως τῆς ἐξαρχίας Γηρομερίου

† *Ἱερεμίας ἐλέῳ Θεοῦ κλπ.*

Τῶν ἀναγκαίων ὑπέρ τι ἄλλο ἔργον ἐστὶ κανονικοῖς λόγοις ὑποτιθέμενον μετὰ πάσης ἐπιμελείας ἀνακαλεῖν ἀεὶ τὰ τῆς ἐκκλησίας πράγματα πρὸς τὴν ἀρχαίαν αὐτῶν τάξιν τε καὶ κατάστασιν, ὅσα δηλαδὴ τῷ προσήκοντι λόγῳ κατὰ καιροὺς διὰ τῶν πατριαρχικῶν προνομίων γεγόνασί τε καὶ διετάχθησαν, ἅπερ καὶ γράμμασι βεβαιωτέροις κατασφαλίζειν χρεών, ἀπείργειν τε καὶ ἀναστέλλειν τοὺς εἰς ἀνατροπὴν αὐτῶν ὁπώσποτε ἐπιχειροῦντας ἐπὶ τῷ διατηρεῖσθαι καὶ τὰ πατριαρχικὰ προνόμια ἀπαρασάλευτα καὶ διὰ τῆς ἐνεργείας αὐτῶν τοῖς πᾶσι κατάδηλα γίγνεσθαι. Ἕκαστον καὶ γὰρ τῶν ὄντων τῆς οἰκείας ἐνεργείας ἕνεκα πέφυκεν, ἧς ἐκπίπτον καὶ στερούμενον ματαιοῦται καὶ ἀντ' οὐδενὸς λογίζεται· προνόμιον δὲ καὶ τῶν προνομίων τῶν πατριαρχικῶν κατ' ἐξαίρετον λόγον ὑπερτεροῦν, ὅπερ θεσπίσμασι τῶν φιλευσεβῶν βασιλέων καὶ κανονικοῖς διατάγμασι παρὰ τῶν πατέρων τῆς ἐκκλησίας καὶ τῶν ἱερῶν συνόδων ἀποκεκλήρωται τῷ ἁγιωτάτῳ πατριαρχικῷ καὶ οἰκουμ. θρόνῳ τῆς ΚΠόλεως, ὥστε πανταχοῦ τῶν ὑποκειμένων τούτῳ παροικιῶν ἐπ' ἀδείας ἔχειν σταυροπήγια ἐκτελεῖν, ναούς τε καὶ μονὰς χώρας παντελευθέρους ἀποκαθιστᾶν καὶ τῷ πατριαρχικῷ ταῦτα κατακοσμεῖν ὀνόματι· διὸ καὶ ἡ μετριότης ἡμῶν τὴν προστασίαν τῆς περιωπῆς τοῦ οἰκουμενικοῦ θρόνου θείῳ ἐλέει ἐμπιστευθεῖσα δεῖν ἔγνω φυλάττειν πάντα τὰ ἀρχαῖα τούτου προνόμια καὶ τὴν τιμὴν διασώζειν καὶ τὴν ἀξίαν δεόντως. Ἐπειδὴ τοιγαροῦν καὶ τανῦν ἐνεφανίσθη ἡμῖν πατριαρχικὸν συνοδικὸν σιγγιλλιῶδες ἐν μεμβράναις γράμμα συντελεσθὲν ἀπὸ ἔτους χιλιοστοῦ ἑπτα-

---

[illegible] 191.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008